# ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΕΡΟΘΕΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΑΘΗΝΩΝ

*Ψαλλομένη τὴν 4 Ὀκτωβρίου*



Συντεθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι Γεωργίου,
Βουτέρη, ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Ὁσίου Μελετίου.

*1918.*

'Οκτωβρίου 3.

*Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.*
*Ἀπολ. ἦχος α'.*

Τῆς σαγήνης τοῦ Παύλου, τὸ πανεύφημον θήραμα τῇ τοῦ Πνεύματος αἴγλῃ, τὸ χρυσαυγὲς φωταγώγημα, θεολογίας τὸν λαμπρὸν ὑφηγήτορα, δι' οὗ τῶν ἄνω ἡ γνῶσις τοῖς νοεροῖς πρυτανεύεται· Διονύσιον τὸν μέγαν τῶν ἐν Ἀρείῳ Πάγῳ πρῶτον, τῶν ὄντως Θεὸν εὐσεβήσαντα, τῶν Ἀθηναίων ὁ δῆμος πᾶς φυλαδόν, δεῦτε σὺν πόθῳ ἀνευφημήσωμεν, αὐτὸν γὰρ πολιοῦχον ὁμοῦ πλουτοῦντες καὶ πρόμαχον.

*Κοντάκιον ἦχος πλ' δ'. Τῇ ὑπερμάχῳ.*

Τὰς οὐρανίους διαβὰς πύλας ἐν πνεύματι, ὡς μαθητὴς τοῦ ὑπὲρ τρεῖς οὐρανοὺς φθάσαντος Ἀποστόλου, Διονύσιε, τῶν ἀρρήτων, ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει τῆς ἀγνοίας ἐγκαθεύδοντας· διὸ κράζομεν. Χαίροις, πάτερ παγκόσμιε.

*Μεγαλυνάρια*

Τὸν Οὐρανομύστην καὶ ἀθλητήν, τῶν ὑπερφυῶν τε μυστηρίων ἑρμηνευτήν, τὸν θεῖον φωστῆρα, καὶ Λειτουργὸν Κυρίου, τιμήσωμεν ἐκ πόθου νῦν Διονύσιον.

Νῦν τὸν ὑψιπέτην καὶ θεωρόν, τῶν ὑπερκοσμίων, γλῶσσαν ὄντως τὴν λυγηρῶς, ἡμῖν φθεγγομένην, ὀνόματα τὰ θεῖα, τιμήσωμεν οἱ πάντες τὸν Διονύσιον.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Ἀθῆναι 1894 καὶ ἄνθη τοῦ Παραδείσου. Ἐγράφη ὑπὸ χειρὸς Γεωργίου Α. Βουτέρη Ἱερέως 18 Αὐγούστου 1920.

*Ἀκολουθία 4 Ὀκτωβρίου. Μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν.*

Ἐν τῷ Μ. Ἑσπερινῷ τὸ Προοιμιακόν. Τὸ Μακάριος ἀνήρ.



Καὶ εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ'. Ἦχος α' Πανεύφημοι μάρτυρες.

Ὁ φωτοειδέστατος Χριστοῦ, ἔρως καὶ θειότατος, τὴν σὴν ψυχὴν κατελάμπρυνε, καὶ τὴν διάνοιαν γλυκυτάτῳ φέγγει, εὐσεβῶς ἐπύρσευσε, καὶ πᾶσαν αἰσθητὴν ἡδυπάθειαν, ὡς πῦρ κατέφλεξεν, οὐρανίων ἐπιλάμψεων, ἐκτελέσας δοχεῖον πανέντιμον.

Ἡ μεγαλοπρέπεια τῶν σῶν, λόγων Ἱερόθεε, καὶ τῶν σοφῶν ἀποδείξεων, ἡ παναρμόνιος, καὶ ἀκριβεστάτη, ἀγωγὴ καὶ μέθοδος, ἐπιστημονικῆς διαθέσεως, καρπὸς γνωρίζεται, καὶ φωτίζει τοὺς προστρέχοντας, καὶ σοφίζει τοὺς ἀναγινώσκοντας.

Τὸ περιφανέστατον τῶν σῶν, συνταγμάτων Ὅσιε, περὶ τὰ θεῖα θεάματα, ὁ Διονύσιος ὁ πολὺς τὰ θεῖα, τοῖς πιστοῖς ἐκήρυξε, καὶ τὸ ὑπερφυὲς τῶν δογμάτων σου, μεθ' οὗ δυσώπησον, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Ἕτερα προσόμοια ἦχος δ. Ὡς γενναῖον ἐν μάρτυσιν.*
*Ἀγάθωνος μοναχοῦ.*

Τὴν τῶν πόλεων Ἄνασσαν, Ἀθηνῶν τὴν ὑπέρτιμον πόλιν εὐφημήσωμεν, τὴν ἐνέγκασαν, τὸν Ἱεράρχην τὸν ἔνθεον, ῥητόρων ἔξοχον, τὸν λαμπρύναντα ἡμῶν, διανοίας διδάγμασι καὶ κοσμήσαντα, τὰς χορείας, τὰς ἄνω τῶν Ἀγγέλων, Ἱερόθεον τὸν μέγαν, καὶ ὑμνολόγον Θεόληπτον.

Οὔτε θρόνος βασίλειος οὔτε κράτος παγκόσμιον, οὕτω κατευφραίνουσι τὴν θεόφρονα, τῶν Ἀθηναίων μητρόπολιν, ὡς κράτος τὸ ἔνθεον, τὸ κατὰ τῶν δυσμενῶν ὁρωμένων δυνάμεων, νοουμένων τε, ὃ παρέχει ὁ μέγας πολιοῦχος, καὶ θερμὸς αὐτῆς προστάτης, ὁ ἱερὸς Ἱερόθεος.

Ἐν σκηναῖς αὐλιζόμενος, ταῖς ἀΰλοις μακάριε, παρρησίαν ἔχων τε πρὸς Κύριον, ἀδιαλείπτως ἱκέτευε, τῷ συνωνυμοῦντι

σοι, τῷ τὴν μνήμην σου θερμῶς ἐκτελοῦντι καὶ πίστει σε λιτανεύοντι. τὴν εἰρήνην δωθῆναι φωτισμόν τε καὶ ἰσχὺν κράτος καὶ νίκης κατὰ δεινοῦ κοσμοκράτορος.

***Δόξα ἦχος πλ. δ΄.***

Δεῦτε πιστοὶ τὸν θεολόγον τὸν δεύτερον εὐφημήσωμεν, Ἱερόθεον τὸν φερώνυμον, καθαρότητι γὰρ βίου χωρητικὸν τοῦ Πνεύματος δοχεῖον ἀναδειχθείς, τὰς ὑπὲρ νοῦν ἐμφάσεις ἐδέξατο, καὶ ὑψηγόρος Ἱεροφάντης, τῆς τοῦ Θεοῦ, κρυφισμύστου σοφίας ἐγένετο, μονάδα γὰρ θεότητος ἐν τρισὶ προσώποις γνωριζομένην ἐθεολόγησε, καὶ τὸ τοῦ Χριστοῦ τοῦ Θεοῦ οἰκονομίας μυστήριον διατρανώσας ἐδήλωσε· διὸ γηθοσύνως ἀνυμνοῦντες αὐτὸν βοήσωμεν, πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ Ἁγιώτατε.

***Καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.***

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστὶν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν, διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

***Εἴσοδος. Τὸ φῶς ἱλαρὸν τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.***

***Παροιμιῶν τὸ Ἀνάγνωσμα.***

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος. ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς, τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστίν, ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλαιον ἐπὶ γλώσσης φορεῖ, τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά, ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ, χείλη ψευδῆ· μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες· πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθά, τοῖς εὑρίσκουσι γνῶσιν· διδάσκω γὰρ ἡμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ, ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.



***Παροιμιῶν τὸ Ἀνάγνωσμα.***

Σοφία ἐν ἐξόδοις ὑμνεῖτε, ἐν δὲ πλατείαις παρρησίαν ἄγει. Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. Υἱέ, μὴ παρραροῆς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σὴ ψυχὴ καὶ χάρις ἐπὶ τῷ σῷ τραχήλῳ, ἔσται δὲ ἴασις ταῖς σαρξί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ὁ δὲ πούς σου οὐ μὴ προσκόψῃ ἐὰν γὰρ πάθῃ ἄφοβος ἔσει. Ἐὰν καθεύδῃς ἡδέως ὑπνώσῃς, ὁ γὰρ Κύριος ἔσται πρὸ τῶν ποδῶν σου, καὶ ἐγείρει σὸν πόδα ἵνα μὴ ἀγρευθῇς. Μὴ απόσχου εὖ ποιῶν ἐνδεεῖς ἡνίκα ἂν ἡ χείρ σου ἔχῃ βοηθεῖν, μὴ εἴπῃς ἐπανελθεῖν ἐπάναγκες καὶ αὔριόν σοι δώσω δυνατοῦ σοι ὄντος εὖ ποιεῖν. Ἀκάθαρτος ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις ἐνεδρεύει. Κύριος ὑπερηφάνεις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

***Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.***

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν

βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐν αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

***Ἦχος β΄. Εἰς τὴν Λιτὴν τὸ Τροπάριον τοῦ Ναοῦ τῆς Μεταμορφώσεως.***

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμον λυτροῦσαι ἐκ παραβάσεως· διὸ βοῶμέν σοι· Εὔσπλαγχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

***Ἦχος Α΄.***

Ἡ ἡλιοστόλιστος γυνὴ ἣν ὁ τῆς Θεολογίας ὑψιπέτης ἀετός, ἐν μέσῳ τοῦ οὐρανοῦ ἐθεάσατο, τὴν τοῦ Χριστοῦ φασὶ πίστιν ὑπαινίττεται, οὐράνιον γὰρ φῶς ἐστὶν ἀληθῶς παρὰ τοῦ Πατρὸς τῶν φώτων προερχόμενον, σοφία ἐστίν, ἣν κατὰ Παῦλον, οὐδεὶς τῶν ἀρχόντων, τοῦ αἰῶνος τούτου, ἔγνωκε, ταῖς παμφαέσιν οὖν ἀκτῖσιν αὐτῆς καταγλαϊσθεὶς Ἱερόθεε, ὁλοπόθως αὐτῇ προσῆλθες, τῆς τοῦ αἰῶνος τούτου σοφίας τὴν οὐράνιον περὶ πλείστου ποιησάμενος...



Φερωνύμως ἱερὸς Θεῷ ἀνεδείχθης, ἱεροφάντορ Ἱερόθεε, Παύλῳ γὰρ τῷ οὐρανίῳ μυσταγωγῷ ἑπόμενος, καὶ ταῖς ἐκείνου φωτιστικαῖς θεηγορίαις φωτιζόμενος, τῷ ἀληθεῖ προσηγγίσας Θεῷ, τὴν ἀντίθεον τῶν εἰδώλων λατρείαν ἀπειπάμενος, διὸ καὶ ὑπ' αὐτοῦ τῆς νεοσυλλέκτου Ἐκκλησίας ποιμὴν προχειρισθείς, καὶ ταύτην ὁσίως καὶ δικαίως ποιμάνας, ἐν τῇ ἀνθηρᾷ τῶν ὀρθῶν σου λογίων πόᾳ, σὺν αὐτῇ ἐν οὐρανοῖς συναγελάζει ἀοίδιμε.

***Ἦχος Δ΄.***

Εἰς ὄρος θείων ἀρετῶν ἀνελθὼν παναοίδιμε, καὶ εἰς τὸν γνόφον εἰσδύσας τοῦ Πνεύματος, συνανεκράθης τῷ Θεῷ, καὶ διανοίας πλαξὶ τὸν νόμον ἐδέξω τῆς χάριτος· διὸ καὶ πλουσίως, τὰς τῶν προσερχομένων σοι ψυχάς, τῷ ζωτικῷ σου λόγῳ διέθρεψας· ὅθεν κατὰ χρέος τὴν σεβάσμιον μνήμην σου ἐκτελοῦντες Ἱερόθεε, ἐκτενῶς δεόμεθα, πρέσβευε τῷ Σωτῆρι καὶ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Δόξα πατρὶ πλ΄ β΄.***

Τὸν Ἱεράρχην τοῦ Χριστοῦ, καὶ τῶν Πατέρων κλέος, τῆς πίστεως τὸν πύργον, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες ὦ φιλέορτοι ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· χαίροις τῆς Ἐκκλησίας φωστὴρ διαυγέστατε, καὶ ποιμὴν Ἁγιώτατε, Ἱερόθεε πάνσοφε· χαίροις ὁ νοῦς ὁ Οὐράνιος ὁ τὰ ἀπόρρητα καὶ ξένα τῆς τοῦ Θεοῦ σοφίας διατρανώσας μυστήρια· ἀλλὰ μὴ παύσῃ δεόμεθα, πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Καὶ νῦν ἦχος β΄.***

Δεῦτε φιλεόρτων συστήματα, ἐν καθαρᾷ καρδίᾳ καὶ συ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΑΓΝΩΣΤΗΡΙΟ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

νειδότι εὐστάθμῳ τῇ Παρθένῳ τὸν ὕμνον προσείσωμεν λέγοντες· σὺ ἡμῶν Σκέπη καὶ βοήθεια Δέσποινα, καὶ τῇ σεπτῇ σου Σκέπῃ διασώζεις ἀεί, τοὺς εἰς σὲ καταφεύγοντας· σκέπασον οὖν ἡμᾶς τοὺς σὲ παρακαλοῦντας· καὶ πυρὸς γεένης ἐξάρπασον, ἐν ὥρᾳ τῆς δίκης, ὡς πάντα ἰσχύουσα, μετὰ Θεόν, τῇ θερμῇ σου πρεσβείᾳ, πανύμνητε Θεοτόκε Παντάνασσα.

***Εἰς τὸν στίχον στιχηρὰ προσόμοια ἦχος πλ΄ α΄.***
***χαίροις ἀσκητικῶν.***

Χαίροις Ἱεραρχῶν καλλονή, τῆς Ἐκκλησίας ἡ κρηπὶς ἡ ἀκράδαντος, ὁ στύλος τῆς εὐσεβείας, ὁ τῶν πιστῶν ἑδρασμός, τῶν Ἑλληνιζόντων ἡ κατάπτωσις, λαμπτὴρ ὁ φαεινότατος, καὶ φωστὴρ ὁ λαμπρότατος, σκότος ἀγνοίας, ἐκδιώξας σοῖς δόγμασι, καὶ διδάγμασι τοῖς πανσόφοις τοῦ Πνεύματος, ρεῖθρον τὸ διαυγέστατον, πηγὴ ἡ ἀέννaος, ἡ καταρδεύουσα ἅπαν τῆς Ἐκκλησίας τὸ πρόσωπον, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

***Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.***

Χαίροις ὁ ποταμὸς τοῦ Θεοῦ, ὁ ἀεὶ πλήρης τῶν ὑδάτων τῆς χάριτος, ὁ πᾶσαν εὐφραίνων πόλιν τοῦ Βασιλέως Χριστοῦ, τοῖς ἐνθέοις λόγοις, καὶ διδάγμασι, τρυφῆς ὁ χείμαρρος, τὸ ἀνεξάντλητον πέλαγος, ὁ τῶν δογμάτων ἀκριβὴς φύλαξ ἔννομος, ὁ θερμότατος τῆς Τριάδος ὑπέρμαχος, Πάνσεπτε Ἱερόθεε, ὁ νοῦς ὁ οὐράνιος, ἔνηχος γλῶσσα τὸ βάθος τὸ τῶν γραφῶν ἑρμηνεύουσα, Χριστὸν νῦν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δωθῆναι τὸ μέγα ἔλεος.

***Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσαν δὲ ἀδίκου ἐξελεῖται.***



Αἴγλη φιλοσοφίας τῆς σῆς, τὴν τῶν Ἑλλήνων σκοτοδίνην διέλυσας, πηγὴν γὰρ ἀπαυγασμάτων, θεοσεβεῖ λογισμῷ, θεοφόρε φθάσας καὶ θεόφρον, αὐγαῖς ταῖς ἐκεῖθεν ἐκδιδομέναις ὡμίλησας, διαφανεῖς γὰρ τὸν σὸν νοῦν, ὥσπερ ἔσοπτρον, ἐργασάμενος τὸ τρισὸν τῆς θεότητος, Πάτερ, φῶς καὶ ἀμέριστον, ἐδέξω θεόληπτε, καὶ τὴν ἀκτῖνα πλουσίως, τὴν ἑνιαίαν ἐχώρησας, ἣν νῦν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

***Δόξα ἦχος πλ΄ α΄.***

Μακάριος σὺ ἀληθῶς Ἱερόθεε, ἱεράρχα Ἀθηνῶν, καὶ πανσόφων τῶν Ἐκκλησιῶν διδάσκαλε· ὅτι τὸν μόνον μακάριον ἠγάπησας Θεὸν ἀληθῆ καὶ τούτου κῆρυξ ἐγένου τὰ πάντα καταλιπών, καὶ σκύβαλα ἡγησάμενος ὑπὲρ τῆς Χριστοῦ ἀγαπήσεως, διὸ καὶ μονὴν ἐν σοὶ ἡ μακαρία Τριὰς ἐποιήσατο· ἧς τῇ χάριτι, καὶ πρὸ τῆς τελειοποιήσεως ἐλλαμθείς, ὡς εἰκὸς τὸν πάσχοντα ἑκουσίως, ὑπὲρ ἡμῶν, ἐπὶ Σταυροῦ Χριστὸν προέγνως, καὶ προεκήρυξας Θεοῦ εἶναι Υἱὸν ὡς ἀληθῶς ὡς τὴν κτίσιν τούτῳ συμπάσχουσαν· διὸ καὶ ἡμᾶς τῶν ποικίλων παθῶν, ἐλευθέρωσον ταῖς πρεσβείαις σου.

***Καὶ νῦν Θεοτοκίον.***

Σήμερον ἡ Παντάνασσα πανύμνητος καὶ Θεοτόκος Μαρία, τὴν θείαν καὶ ὁλόφωτον αὐτῆς, ἀστραπόμορφον Σκέπην ἐφαπλώσασα, τοὺς πιστοὺς πάντας ἐν οἴκῳ Ἁγίῳ αὐτῆς ἐσκέπασεν· οἷα νεφέλη τὸ πάλαι, ἐν τῇ Σκηνῇ τοῦ Μαρτυρίου, ἡ τὸν Ἰσραὴλ ὁδηγοῦσα καὶ θέλπουσα, οὕτω τὴν Βασιλίδα τῶν πόλεων, σὺν τῷ πιστῷ χριστεπωνύμῳ πληρώματι περισκέπουσα· τὴν ἄπειρον αὐτῆς χάριν παρεμφαίνουσα διένειμεν εἰς ἅπαντα εὐσεβῶν τὰ σκηνώματα, ἧς περ νῦν τὴν ἀνάμνησιν, οἱ

πιστοὶ αὐτῆς ἱκέται ποιούμενοι, χρεωστικῶς πρὸς αὐτὴν μετὰ πόθου βαήσωμεν· σκέπασον ἡμᾶς Πανύμνητε Δέσποινα ὑπὸ τὴν σὴν σκέπην τὴν σωστικὴν καὶ Ἁγίαν, τοὺς πιστῶς ἀνυμνοῦντάς σε καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Τὸ νῦν ἀπολύεις καὶ τὸ Ἀπολυτίκιον. Ἦχος Α΄. Τοῦ λίθου σφραγισθέντος.*

Τὸν Παύλου μαθητήν τε καὶ τῆς Οἰκουμένης διδάσκαλον, τὸν τῶν Ἀθηνῶν Ἱεράρχην καὶ κήρυκα τῆς πίστεως, τὸν μέγαν καὶ πάνσοφον, πιστοί, ἐκφάντορα τῶν μυστηρίων τοῦ Χριστοῦ, Ἱερόθεον ἐν ὕμνοις, χρεωστικῶς ἀνευφημήσωμεν ἅπαντες, τὸν βλύσαντα ὡς νάματα ἡμῖν, διδάγματα ἔνθεα σαφῶς, καὶ Θεὸν τῷ βίῳ εὐφράναντα τὸν μόνον πολυέλεον.

***Καὶ νῦν Θεοτοκίον τῆς Ἁγίας Σκέπης. Ὁ αὐτός.***

Τῆς Σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν Παρθένε, ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου ἐφήπλωσας τοῖς πᾶσι· τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου Μαφόριον σεμνή, ἐφηπλοῦτο πανταχόθεν τοῖς λαοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον· χάρις τῇ ἀντιλήψει σου σεμνή· χάρις τῇ Θείᾳ Σκέπῃ σου, χάρις τῇ προθυμείᾳ σου μόνη θεόνυμφε.

***Ἀπόλυσις τοῦ Ἑσπερινοῦ. Εἰς τὸν ὄρθρον. Τὸ Θεὸς Κύριος. Κάθισμα α΄. Στιχ. ἦχος α΄.***

Δογμάτων ἀστραπαῖς, ὥσπερ ἥλιος Πάτερ ἐφώτισας, τὴν γῆν καὶ εἰδώλων τὸ σκότος, μακρὰν ἀπεδίωξας, Ἱερόθεε Πάνσοφε, ὅθεν δέομαι τοῦ αἰωνίου με σκότους, ἐλευθέρωσον, καὶ φωτισμοῦ σωτηρίας εὐχαῖς σου ἀξίωσον.



***Δόξα καὶ νῦν Θεοτοκίον.***

Τὴν Σκέπην σου Ἁγνή, τὴν σεπτὴν προσκυνοῦμεν· τὴν πάντας τοὺς πιστούς, περισκέπουσαν ὄντως· συμφώνως γεραίροντες σοῦ τὴν δόξαν τὴν ἄρρητον· σὺ γὰρ πέφυκας Σκέπη ἡμῶν καὶ προστάτης· καὶ βοήθεια, τῶν εὐλαβῶς ἐκτελούντων, σῆς Σκέπης ἀνάμνησιν.

***Β. Στιχολογίαν. Ἦχος γ΄. Θείας Πίστεως.***

Θεῖον ἔδρασμα τῆς Ἐκκλησίας, Ἱερόθεε Ἱεροφάντορ, ταῖς διδαχαῖς σου τὴν ἀθεΐαν ἐξέτεμες, τῆς εὐσεβείας τὸν δρόμον τετέλεκας, λοιπὸν πεπλήρωται ὁ πόθος ὁ σὸς ἀοίδιμε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***Δόξα καὶ νῦν Θεοτοκίον.***

Τὴν Θείαν Σκέπην σου, τὴν ἀστραπόμορφον, καὶ Πανυπέρτιμον Θεοχαρίτωτε, οἱ εὐσεβεῖς πανευλαβῶς, τιμῶμεν καὶ προσκυνοῦμεν καὶ κατασπαζόμεθα, ὡς ἡμᾶς περισκέπουσαν, καὶ διαφυλάττουσαν, ἐκ κινδύνων καὶ θλίψεων· διὸ καὶ εὐχαρίστως βοῶμεν· χαῖρε ἡ πάντων προστασία.

***Μετὰ τὸν πολυέλεον ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.***

Τὰ στίφη τῶν πιστῶν, εὐσεβῶς συνελθόντα, τὸν κήρυκα Χριστοῦ, Ἱερόθεον ὕμνοις, ἀξίως εὐφημήσωμεν, εὐσεβείας τὸν πρόμαχον, τὸν ἀήττητον, καὶ ἀσεβῶν καθαιρέτην, τὸν κηρύξαντα, Θεὸν τοῦ σύμπαντος κόσμου, Χριστὸν τὸν Θεάνθρωπον.

***Δόξα καὶ Νῦν Θεοτοκίον.***

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΥΜΝΑΣΙΟΥ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε· οἷς συνύμνησαν καὶ τῶν Ἀγγέλων τὰ πλήθη τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες· ἣν πίστει ἑορτάζομεν.

***Οἱ Ἀναβαθμοὶ τοῦ Δ' ἤχου. Προκείμ. Τὸ στόμα μου λαλήσει σοφίαν. Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Τὸ Πᾶσα πνοὴ καὶ Εὐαγγέλιον κατὰ Λουκᾶν.***

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς, ἢ τὶ ἀπολογήσησθε, ἢ τὶ εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς, ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

***Ὁ Ν'. Καὶ τὸ Ἰδιόμελον Ἦχος Πλ. Β' Ἀγάθωνος.***

Χοροβατῶν ἐν οὐρανοῖς, καὶ τῷ ἀδύτῳ φέγγει καταλαμπόμενος πάνσοφε, μὴ διαλίπῃς ἐποπτεύων τοὺς ἐπὶ γῆς ᾄσμασιν, τὴν πανέορτον γεραίροντας μνήμην σου, καὶ τῷ Χριστῷ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέει καὶ οἰκτιρμοῖς. Κανὼν της Θεοτόκου Ἦχ. Πλ. Δ' Ὠδὴ Α'.***

Τὸ στόμα μου πλήρωσον γλυκασμοῦ, τοῦ θείου Κόρη, καὶ



κατάλαμψόν μου τὸν νοῦν, ὅπως ἀνυμνῶ καὶ μεγαλύνω, τῶν οἰκτιρμῶν σου τὸ ἄπειρον πέλαγος.

Ἀσθενοῦσαν πάθεσι χαλεποῖς, τὴν πολυπαθῆ μου καὶ οἰκτρὰν καὶ βαρυαλγῆ καρδίαν ἰάτρευσον, Παρθένε, τὸν ἰατρὸν τῶν ψυχῶν ἡ γεννήσασα.

Ὑπέρτερον δεῖξόν με ἡδονῶν, παθῶν σαρκικῶν τε καὶ μερίμνων βιωτικῶν, τῶν ἄνω ταγμάτων ὑπερτέρα, καὶ λαμπροτέρα ἡλίου θεόνυμφε.

Τὴν εὐλογημένην ἐν γυναιξί, καὶ δεδοξασμένην ἱκετεύω σε τῆς φωνῆς, τῆς εὐλογημένης ὑπακοῦσαι, τοῦ σοῦ Υἱοῦ καὶ τῆς δόξης αὐτοῦ με τυχεῖν.

***Ὠδὴ Α'. Τοῦ Ἁγίου Ἦχος ὁ αὐτός. Ἅγιε τοῦ Θεοῦ.***

Τὸν οὐρανοφοίτην μυσταγωγόν, Θεόληπτον Παῦλον, τὸν τοῦ κόσμου σαγηνευτήν, διδάσκαλον ἔχων θεωρίας, τῆς ἀνωτάτω μύστης γέγονας.

Ἡ Πνευματόμνητος ἐμφανῶς, τοῦ Παύλου σε γλῶσσα, φθεγγομένη τὰ τοῦ Θεοῦ, μυστήρια μάκαρ περιέσχε, καὶ θηγόρον ἀπειργάσατο.... Δόξα.

Νιττόμενος πόθῳ πνευματικῷ, καὶ θείοις λογίοις, ἐν συνέσει προσομιλῶν, τῶν πάντων Δεσπότῃ πανιέρους θεολογίας ἀνατέθεικας. Καὶ νῦν.

Φωτὸς ἀΐδιον θεοπρεπές, δοχεῖον Παρθένε, γενομένη καὶ καθαρόν, κηλύδωμα πάσης ἁμαρτίας καὶ μολυσμάτων πλῦνον Δέσποινα.

***Ὠδὴ γ' Οὐρανίας ἀψίδας. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.***

Ἡ περίδοξος πόλις, καὶ λογικὴ Δέσποινα, τοῦ Παμβασι-

ΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

λέως, δυσώπει Θεοχαρίτωτε, τῆς ἄνω πόλεως οἰκήτορά με γενέσθαι, καὶ μὴ καταισχύνῃς με τῆς προσδοκίας μου.

Καταφύγιον κόσμου, χριστιανῶν καύχημα, σκέπη καὶ ἀντίληψις πάντων τῶν ἐλπιζόντων εἰς σέ, τὸν πεποιθότα σοι, μὴ οὖν καμὲ ὑπερίδῃς ἀλλὰ τῷ ἐλέει σου Δέσποινα σῶσόν με.

Ἀπορία καὶ γνόφος, καὶ λογισμῶν σύγχυσις, τοὺς τὸν ἀνερμήνευτον τόκον σου ἑρμηνεύοντας καλύπτει, Δέσποινα, ὃν Μωϋσῆς γὰρ προεῖδε γνόφῳ καλυπτόμενος, τοῦτον ἐγέννησας.

Ἱεροῦ παραδείσου, καὶ ζωηροῦ χώρου με, βρώσει δελεάσας, δολίᾳ ὄφις ὁ δόλιος, μακρὰν ἐξώρισε, καὶ τῆς φθορᾶς τὸ χωρίον, τῆς Ἐδὲμ ἀλλάξασθαι, φθόνῳ παρέπεισεν.

**Ὠδὴ γ΄. Τοῦ Ἁγίου ἦχος ὁ αὐτός. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Ὡς ἱερολογοῦντα, τὰ ἱερὰ γράμματα, καὶ τῆς εὐσεβείας τὸν λόγον ἀνακηρύττοντα, πάντες τιμῶμέν σε χαρμονικῶς συνελθόντες, μάκαρ Ἱερόθεε καὶ μακαρίζομεν.

Συντονίᾳ καὶ νεύσει, καὶ θεϊκῷ ἔρωτι, πρὸς τὸν εὐεργέτην, τῶν ὅλων ἀνατεινόμενος, τὸν νοῦν ἐλάμπρυνας, μαρμαρυγαῖς ταῖς ἐκεῖθεν, καὶ ψυχὴν ἐφαίδρυνας μακαριώτατε...

Δόξα πατρὶ

Φερωνύμως ἐκλήθης, καὶ ἱερὸν ἔνθεον, καὶ ἡγιασμένον θεόφρον, ὤφθης ἀνάθημα, τῷ Παντοκράτορι, καὶ ποιητῇ τῶν αἰώνων, καὶ ναὸν ἐκόσμησας τὸν ἐπουράνιον.

Καὶ νῦν

Οὐρανὸν ὁ τανύσας καὶ τὸν τῆς γῆς Ἄχραντε, γῦρον ὁ κατέχων τὰ πάντα φύσει θεότητος, ἐν ταῖς ἀγκάλαις σου, σωματικῶς κατεσχέθη, καὶ πιστοῖς σε στήριγμα, πᾶσιν ἀνέδειξεν.



**Αἴτησις. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Κάθισμα ἦχος γ΄. Θείας πίστεως.**

Πᾶσαν ἤρδευσας τὴν οἰκουμένην, ὥσπερ νάμασι ταῖς διδαχαῖς σου, τῆς εὐσεβείας ἐκβλύζων τὰ δόγματα, ἡ τῆς ζωῆς γὰρ πηγή, ὁ Χριστὸς ἐν σοὶ ἐπανεπαύσατο ὦ Ἱερόθεε, Πάτερ Ὅσιε, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν Θεοτοκίον.**

Εἰς τὰ οὐράνια, ἡ νοερά σου ψυχή, εἰς τὸν Παράδεισον ἡ καθαρά σου σκηνή, μετατεθεῖσα ἐκ φθορᾶς ἀγάλλεται Παναγία. Ὅθεν ἀνταπέδωκε, τοῖς ἀνόμοις ὁ Κύριος· δόλον γὰρ εἰργάσατο τῷ τιμίῳ Λειψάνῳ σου· Διὸ σὺν Ἀποστόλοις βοῶμεν: Χαῖρε ἡ Κεχαριτωμένη.

**Ὠδὴ δ΄. Τῆς Θεοτόκου. Εἰσακήκοα Κύριε. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς**

Ἡ κοιλία σου ἄχραντε, εὐρυχωροτέρα Οὐρανῶν γέγονεν· τὸν ἀχώρητον χωρήσασα· ὃν δυσώπει σῶσαι τοὺς ὑμνοῦντάς σε.

Δωρεάν με ἐλέησον, νόσων τε παντοίων Κόρη ἀπάλλαξον καὶ κολάσεως ἐξάρπασον ἡ καταφυγή μου καὶ προστασία μου.

Ἐπὶ σοὶ ἀνατίθημι, πᾶσαν προσδοκίαν τῆς σωτηρίας μου, καὶ τοῦ βίου τὴν κυβέρνησιν, κεχαριτωμένη ἀειπάρθενε.

Ἡ ἐλπίς μου καὶ καύχημα ἡ καταφυγὴ ζωὴ καὶ ἀντίληψις, προστασία καὶ παράκλησις, σὺ ὑπάρχεις, Κόρη πανσεβάσμιε.

**Ὠδὴ Δ τοῦ Ἁγίου Ἦχος ὁ αὐτός. Ἅγιε τοῦ Θεοῦ**

Ῥητορικαῖς θεηγορίαις ἐλάμπρυνας, τὰς χορείας μάκαρ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΟΣ ΠΑΠΑ ΑΘ. ΤΟΥ

Ἱερόθεε, τὰς τῶν πιστῶν· καὶ τὸν ἱερὸν σύλλογον Θεόφρον, τῶν Ἀποστόλων κατηύφρανας ἐκστάσει θειοτέρᾳ, κεχρημένος, καὶ ψάλλων· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὅλος Θεῷ ἱερωμένος γεγένησαι, ὁλοτρόπως μάκαρ ἐξιστάμενος, ταῖς πρὸς αὐτὸν θεολογικαῖς ἱερολογίαις Ἱεροφάντορ θεόκλητε, καὶ θεῖος ὑμνολόγος, καὶ σοφὸς θεηγόρος τοῖς παροῦσιν ἐμφρόνως κρινόμετος.

Νῦν καθορῶν, Πάτερ τὰ θεῖα τρανότερον, παρελθόντων πάντων Ἱερότατε, τῶν αἰνιγμάτων, καὶ τῶν σκιῶν, ταῖς ἀληθεστάταις, τῆς θεοπτίας ἐμφάσεσι, δυσώπησον σωθῆναι, τοὺς πιστῶς μελῳδοῦντας, τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Καὶ νῦν.

Σὺ τὸν θεόν, τὸν ἀχωρήτως χωρούμενον, ἐν κοιλίᾳ Πάναγνε ἐχώρησας· ὡς καθαρὰ καὶ παρθενικαῖς καθωραϊσμένη φαιδρότησιν ἀειπάρθενε· διό σε Θεοτόκον, ἀληθῶς εὐφημοῦμεν, καὶ τὸν τόκον σου πίστει δοξάζομεν.

***Ὠδὴ ε΄. Τῆς Θεοτόκου. Ὑπεραγία θεοτόκε σῶσον ἡμᾶς.***

Σωτῆρα καὶ φιλάνθρωπον Κύριον ἡ τεκοῦσα, τῇ φιλανθρωπίᾳ σου, τῆς σωτηρίας τρίβον μοι γνώρισον.

Ἵλεῳ σου ἐν ὄμματι, Δέσποινα Θεοτόκε, ἐπὶ τὴν ταπείνωσιν, τὴν ἐμήν, ἴδε καὶ σῶσόν με.

Γ. Α. ΒΟΥΤΕΡΗΣ Ἱερεύς.

Στεφάνωσον ὡς ὅπλῳ Πανύμνητε εὐδοκίας, ἐν τῇ θείᾳ σκέπῃ σου, τὴν κεφαλήν μου φρουροῦσά με.

Ὁ Ὕψιστος σαρκοῦται ἐν μήτρᾳ σου καὶ γεννᾶται θεοτόκε ἄχραντε, καὶ κενουργεῖ τὸ ἀνθρώπινον.



***Ὠδὴ ε΄. Τοῦ Ἁγίου ὁ αὐτός. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.***

Ὁμοδίκαιος Μάκαρ, τῷ τῶν Ἀποστόλων ὑπάρχων συστήματι, σὺν αὐτοῖς ἐπέστης, τῇ κοιμήσει τῇ Θείᾳ θεόπνευστε τῆς τὸν Ζωοδότην, σωματικῶς ἡμῖν τεκούσης, Παναγίας ἁγνῆς θεομήτορος.

Ὑπερφυῶς ἐννοήσας, καὶ πρεσβυτικῶς, τὰ ὑπὲρ λόγον θαύματα ὑφηγήσωπᾶσι τοῖς πιστοῖς δεχόμενος τὴν ἔλλαμψιν, καὶ τὰς σὰς παμμάκαρ, συνοπτικὰς θεολογίας συνιέναι ποθοῦσι Πανάριστε. Δόξα

Πανολβίαις ἀκτῖσι, τῆς ὑπερφυοῦς φωταυγίας λαμπόμενος, ἀκριβείᾳ Θείων ἀποδείξεων καὶ καθαρότητι, τῶν πολλῶν ἐκράτεις χρόνου τριβῇ καὶ θεωρίᾳ, σοφωτέρᾳ τὰ Θεία μυούμενος. Καὶ νῦν

Ἀπειράνδρως Παρθένε, τὸν ἀπεριόριστον φύσει Θεότητος, ἀνδρωθέντα λόγον, δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους συνέλαβες, ἐξ αἱμάτων Κύριε, παρθενικῶν διαπλασθέντα, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

***Ὠδὴ στ΄. Τῆς Θεοτόκου ἦχος πλ. δ΄. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.***

Γαλήνης ἡ κυήσασα Χριστόν, τὸν αἴτιον Δέσποινα, τὸν ἄγριον κλύδωνα, τῶν παθῶν μου δυσωπῶ σε ἡμέρωσον.

Δραμεῖν Θεοῦ ὁδὸν τῶν ἐντολῶν, τὴν ἐστενωμένην μου καρδίαν τοῖς πάθεσι πλατυτέρα οὐρανῶν Κόρη πλάτυνον.

Οὐ κέκτηται δακρύων ὀχετούς, ἵνα ἀποπλύνω μου τὰ ἄπειρα πταίσματα ταῖς πρεσβείαις σου ἁγνὴ τούτων ῥῦσαι με.

Ἡ Μήτηρ τοῦ Ὑψίστου προσλαβοῦ, ἐκ πολλῶν ὑδάτων με παθῶν εἰς μετάνοιαν, ἀποστείλασα, ἐξ ὕψους τὴν χάριν σου.

***Ἕτερος κανὼν τοῦ Ἁγίου. Ὠδὴ στ΄. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.***

Μυήσει θεοπρεπεῖ, τὴν θείαν γνῶσιν μυούμενος, τοὺς λόγους Πάτερ

τοὺς σούς, ὡς δεύτερα λόγια, σαφῶς καταλέλοιπας ἱερογνωσίαις, τὰς ψυχὰς ἡμῶν φωτίζοντα.

Μακάριος ἀληθῶς, ἐγένου Θεομακάριστε, κεκαθαρμένη ψυχῇ, τὸ ὄντως μακάριον, καὶ μόνον ἐράσμιον, ἀγαπήσας κάλλος τοῦ Σωτῆρος Ἱερόθεε...

Ἀχράντοις ἐπιβουλαῖς, ἐνατενίζων θεόληπτε, ταῖς νοηταῖς ἀστραπαῖς, τῶν Θείων ἐλλάμψεων, τῆς τούτων μεθέξεως, καὶ φωτοδοσίας, κοινωνὸς ὤφθης μακάριε.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκε δοξάζομεν· τὸν ὄντως ὄντα Θεόν, ἀρρήτως γὰρ τέτοκας, σαρκὶ καθ' ὑπόστασιν συνδεδραμηκότα, Παναγία Μητροπάρθενε.

### *Αἴτησις. Σὺ γὰρ εἶ ὁ Βασιλεύς. Κοντάκιον ἦχος πλ δ'. Τῇ ὑπερμάχῳ.*

Τὸν ἱεράρχην Ἀθηνῶν ἀνευφημοῦμέν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄρρητα, ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος, ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύεσθαι, ἵνα κράζωμεν. Χαίροις Πάτερ Θεόσοφε.

### *Ὁ Οἶκος.*

Ἄγγελος ἐξ ἀνθρώπων, ἀρεταῖς χρηματίσας, ὁ μέγας Ἱερόθεος πᾶσιν ὡς ὑπόπτερος ἐμυήθης τὸν νοῦν, τὴν οὐράνιον γνῶσιν, διὸ ᾄσμασιν ὡς Ἄγγελον τιμήσωμεν, βοῶντες πρὸς αὐτὸν τοιαῦτα.

Χαῖρε ὁ γνοὺς Χριστὸν διὰ Παύλου. Χαῖρε πολλοὺς πρὸς Χριστὸν ὁ στρέψας. Χαῖρε βίβλος θεοχάρακτος μυστηρίων θησαυρέ. Χαῖρε πίναξ θεομόρφωτε καὶ διόπτρα Οὐρανοῦ. Χαῖρε φραγμὸς ἀσεβῶν παροδίας, Χαῖρε φωστὴρ τοὺς πιστοὺς καταυγάζων. Χαῖρε Πάτερ Θεόσοφε.

Τῇ Δ' τοῦ μηνὸς Ὀκτωβρίου Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν. Ἱερόθεος ἱερώθη σοι πάλαι. Νῦν δ' αὖ μεταστάς, καὶ συνήφθη σοι Λόγε Ἠοῦ σῆμα κάλυψε τετάρτη Ἱερόθεον.

Τῇ αὐτῇ ἡμέρᾳ. Τοῦ Ἁγίου Ἱερομάρτυρος Πέτρου Καπιτωλίων.

Τῇ αὐτῇ ἡμέρᾳ. Τῆς Ἁγίας Μάρτυρος Δομνίκης καὶ τῶν θυγατέρων αὐτῆς Βερίνης καὶ Προσδόκης.



Τῇ αὐτῇ ἡμέρᾳ. Τοῦ Ἁγίου Μάρτυρος Αὐδάκτου, καὶ Καλλισθένης τῆς αὐτοῦ θυγατρός.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀμμοῦν τοῦ Αἰγυπτίου.

Τῶν Ἁγίων Μαρτύρων Φαύστου, Γαΐου, Εὐσεβίου, καὶ Χαιρήμονος τῶν διακόνων.

Ταῖς τῆς Θεοτόκου, τοῦ ἱεράρχου Ἱεροθέου, καὶ τῶν Ἁγίων τῆς ἡμέρας ἐλεῆσαι ἡμᾶς.

### *Ὠδὴ ζ'. Ἦχος πλ δ'. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.*

Πίστει καὶ πόθῳ σοι προστρέχω, τῶν πταισμάτων ταῖς σειραῖς κατεσφιγμένος, διὰ σπλάγχνα ἐλέους, λῦσον με βοῶντα, εὐλογημένος Πάναγνε ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ῥεῖθρον ἰάσεώς μοι βλῦσον· καὶ κατάσβεσον τὴν κάμινον Παρθένε, ἡδονῶν καὶ παθῶν, πταισμάτων τε καὶ νόσων, σὺ γὰρ βλυστήνουσα, ζωῆς θείας γλυκὺ ῥεῖθρον.

Ἔλαφος διατετρωμένος, Παναμώμητε βολίοις ἰοβόλοις, τοῦ ἐλέους τοῦ σοῦ, διψῶ πιεῖν ρανίδας, ὡς τὸν ἰὸν ἐκκρούσωμαι, τὸν ποτὲ θανατηφόρον.

Πᾶσαν εἰς σὲ τὴν προσδοκίαν ἀνατίθημι Παρθένε τῆς ζωῆς μου, μὴ παρίδῃς διό, ἀλλ' οἴκτειρον καὶ σῶσον, καὶ τῆς ἐκεῖ με λύτρωσαι, αἰωνίου καταδίκης.

### *Τοῦ Ἁγίου ἦχος πλ δ'. Ὠδὴ ζ'. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἁγίων τὰ ἅγια, κατανοῆσαι σπεύδων μακάριε, καθαρότητι βίου, καὶ θεωρίας, θείας ἀκρότητα, σοφῶς ἐκτήσω, καὶ ψάλλειν ἐκραύγαζες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ρημάτων ὁ φθόγγος σου, καὶ συγγραμμάτων ἡ καλλιέπεια, κατευφραίνει τοὺς πόθῳ προσομιλοῦντας καὶ διανίστησι, πρὸς ὑμνωδίαν κραυγάζει διδάσκουσα· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δόξα

Μονάδα θεότητος γνωριζομένην ἐθεολόγησας ἐν προσώπῳ Τριάδι,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ ὑμνουμένην ἐν ὑποστάσεσι, τρισὶ θεόφρονι καὶ ψάλλων ἀνέμελπες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Καὶ νῦν

Νομίμων τῆς φύσεως, παρθενομῆτορ, ἄνευ γεγέννηκας, τὸν δεσπόζοντα, πάντων τῶν ὁρωμένων, καὶ νοουμένων Ἁγνή· ὃν ἀνυμνοῦντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν·

***Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.***

Ἐν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ συλλαβοῦσα θεομῆτορ ἄχραντε Μαρία, τέτοκας ἀφράστως Χριστὸν τὸν Βασιλέα.

Ἵνα δοξάζω καὶ προσκυνῶ μετὰ δέους σοῦ τὸ πάνσεπτον ὄνομα Κόρη, θλίψεώς με πάσης, ἐκλύτρωσαι καὶ βλάβης.

Φέρεις ὡς βρέφος ἐν ταῖς Ἁγίαις χερσί σου, τὸν τὰ πάντα φέροντα τῷ Λόγῳ· ὅθεν σὺν αὐτῷ ὑμνοῦμεν εἰς αἰῶνας.

Ὡς ἀσφαλῆ σε ἐλπίδα μόνην κατέχων, καθικετεύω, ἁμαρτιῶν καὶ κινδύνων, ἄχραντε Μαρία, ἐκλύτρωσαί με τάχυ.

***Ὠδὴ η΄ τοῦ Ἁγίου. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.***

Ἡ πανσθενὴς τοῦ Πνεύματος τοῦ Ἁγίου ἐνέργεια, τῇ καθαρωτάτῃ σου ψυχῇ σκηνώσασα, θεόληπτον κήρυκα, καὶ θεηγόρον ἔδειξεν, ἱεροπρεπῶς τὸν Λυτρωτὴν ἀνυμνοῦντα, καὶ πίστει μελῳδοῦντα, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μετ' εὐσεβοῦς ζητήσεως, ερευνήσας τὰ ἄρρητα τῆς οἰκονομίας τοῦ Χριστοῦ μυστήρια, τρανῶς ἐφανέρωσας, ὑψηγορίᾳ χρώμενος, καὶ τῇ γλυκυτάτῃ τῶν σῶν λόγων συνθήκῃ βοῶν ἀδιαλείπτως, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Δόξα πατρὶ

Ἡ πανολβία χάρις σε, θειοτέρας ἐμπνεύσεως, καὶ θεολογίας ἀκριβοῦς ἐνέπλησεν, ἐντεῦθεν ἀνέβλυσας, ὡς ποταμοὺς τὰ δόγματα, τὰς τῶν Ἀποστόλων κατευραίνων χορείας, μεθ' ὧν νῦν ἀνεμέλπεις, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.



Νενεκρωμένην Πάναγνε τὴν ψυχήν μου τοῖς πταίσμασι, καὶ κεκακωμένην ἰοβόλῳ δήγματι, Θεὸν τὸν δυνάμενον, ζωοποιεῖν τὰ σύμπαντα, ἡ ἀπειρογάμως ὑπὲρ φύσιν τεκοῦσα, ἀνάστησον βοῶσαν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

***Ὠδὴ Θ΄ Κυρίας Θεοτόκου. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.***

Τοὺς σοὺς οἰκτροὺς ἱκέτας, οἰκτείρησον Παρθένε, ἀνιαροῦ τε παντὸς ἐλευθέρωσον, ἐπιφορὰς ἐπιούσας ἀναχαιτίζουσα.

Ἱλάσθητι Σωτήρ μου, πᾶσι τοῖς τιμῶσι, τὴν Ὑπερένδοξον ὄντως Μητέρα σου, καὶ παραδείσου τῆς δόξης δεῖξον οἰκήτορας.

Ὁδὸν κακίας πάσης, ἔδραμον ἐντόνως, τῶν ἀρετῶν τὴν ὁδὸν δὲ παρέδραμον, ὁδόν μοι γνώρισον Κόρη, ἐν ᾗ πορεύσομαι.

Ὕμνον σοι τελευταῖον, πρωτόν τε καὶ μέσον, τοῦ Ἀρχαγγέλου τὸ χαῖρε προσφέρω σεμνή· σοὶ γὰρ κατάλληλον ἄλλον εὑρεῖν οὐ δύναμαι.

***Τοῦ Ἁγίου ὁ αὐτός. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.***

Σοφίας ὑπερσόφου ὡς ἐραστής, γεγονὼς τῶν χαρίτων τὸν στέφανον, τὸν εὐπρεπῆ χαίρων ἐκομίσω νῦν παρ' αὐτῆς, καὶ χορευτὴς οὐράνιος, περὶ τὸν τῶν ὅλων Δημιουργόν, γενόμενος δυσώπει, σωθῆναι ἐκ κινδύνων, τοὺς σὲ ὑμνοῦντας Ἱερόθεε.

Ἐσκήνωσας τὰς ἄνω θείας αὐλάς, καὶ μονὰς αἰωνίους κατῴκησας, καὶ στρατιαῖς νῦν συνεορτάζεις Ἀγγελικαῖς, σὺν Ἀποστόλων τάγμασιν, οἷς καὶ συναυλίζει ἁρμονικῶς, μεθ' ὧν καὶ συναγάλλει, τοῖς πίστει σε τιμῶσι, θείαν εἰρήνην ἐξαιτούμενος. (Δόξα Πατρί...

Βεβαίας ἀντιδόσεις ἀπολαβών, ὧν ἐν γῇ τὰς ἐμφάσεις ἐκέκτησο, διηνεκεῖ πόθῳ ἀνανεύων πρὸς τὸν Θεόν, νῦν ἐκτενῶς ἱκέτευε, Πάτερ Ἱερόθεε ἱλασμόν, δοθῆναι τοῖς ἐν πίστει, τὴν μνήμην σου τελοῦσι, τὴν φωτοφόρον καὶ πανίερον.

Ὦ Μῆτερ τοῦ τῶν ὅλων Δημιουργοῦ, μητρικῇ παρρησίᾳ δυσώπησον, τὸν σὸν Υἱόν, σῶσαι δυναστείας τυραννικῆς, τοὺς αἰχμαλώτους

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΚΥΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δούλους σου, καὶ συκοφαντίας τῶν πονηρῶν ἀνθρώπων καταργῆσαι, γαλήνην τε βραβεῦσαι, καὶ σωτηρίαν τοῖς ὑμνοῦσι.

## Καταβασίαι τῆς Θεοτόκου. Ἦχος Δ΄ Ὠδὴ Α΄.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ μέλψω γηθόμενος, Σκέπην τὴν πάντιμον. (Ὠδὴ Γ΄)

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε· ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ Σκέπῃ τῇ Ἁγίᾳ σου τοὺς σὲ γεραίροντας σκέπασον... (Ὠδὴ Δ΄)

Ἡ καθήμενος ἐν δόξῃ ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος· τῇ ἀκηράτῳ Παρθένῳ καὶ διέσωσε· τοὺς τὴν Σκέπην νῦν, αὐτῆς τὴν θείαν δοξάζοντας. (Ὠδὴ Ε΄)

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἐν Βλαχερνῶν σου τῷ πανιέρῳ Ναῷ, ἐφήπλωσας Σκέπην σου σεπτήν, καὶ πιστοὺς ἐσκέπασας, σωτηρίαν βραβεύουσα. (Ὠδὴ στ΄)

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς θείας Σκέπης αὐτῆς, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες. (Ὠδὴ Ζ΄)

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ Θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ..

## Ὠδὴ Η΄. Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου, διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἐγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

## Ὠδὴ Θ΄. Ἄγγελοι τὴν Σκέπην τῆς Θεοτόκου, ἐν ὕμνοις μεγαλύνουσιν, ὅτι πιστῶν τὰς χορείας, ἁπανταχοῦ περισκέπει.



Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δὲ ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω, χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

### Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὁ τοὺς σοφοὺς δρασσόμενος τῇ αὐτῶν πανουργίᾳ, μόνος Θεὸς ὁ πάνσοφος, καὶ σὲ αὐτὸν ἐδράξατο· διὰ τῆς Παύλου σαγήνης, ἔγνω γὰρ ὡς μωρία, παρὰ Θεοῦ σαφῶς ἐστίν, ἡ τοῦ κόσμου σοφία, διὸ μωρός, ἐν τῷ κόσμῳ γέγονας, ἵνα γένῃ παρὰ Θεοῦ πανόλβιε, σοφὸς ὡς καὶ ἐγένου.

### Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὅτε ἡ Μήτηρ τοῦ Λόγου, πρὸς τὰς ἐκεῖ καταπαύσεις, μεταναστεύουσα ὤφθη, σὺν τοῖς λοιποῖς Ἀποστόλοις, σὺ Ἱερόθεε ὕμνοις, ἐπέστης ταύτην προπέμπων. (Θεοτοκίον.)

Ἐν τῇ σεπτῇ Κοιμήσει σου Παναγία Παρθένε, παρῆν ὁ Διονύσιος σὺν Ἱεροθέῳ καὶ Τιμοθέῳ τῷ θείῳ, ἅμα τοῖς Ἀποστόλοις, ἕκαστος ὕμνον ᾄδοντες, πρόσφορον τῇ σῇ μνήμῃ, μεθ' ὧν καὶ νῦν, πᾶσα γλῶσσα βρότειος ἀνυμνεῖ σε, τὴν τοῦ Θεοῦ λοχεύτριαν, καὶ τοῦ κόσμου προστάτην.

## Εἰς τοὺς αἴνους. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν... (Ἀγάθωνος μοναχοῦ)

Δεῦτε τῆς σοφίας τὴν πηγήν, καὶ θεολογίας τὴν βρύσιν, τὴν ἀδαπάνητον, κήρυκα τὸν ἔνθεον καὶ ἱερώτατον, Ἱερόθεον ἅπαντες, ὑμνήσωμεν πόθῳ, οὗτος γὰρ ἑκάστοτε, ὑπὲρ ἡμῶν ἐκτενῶς, δέησιν ποιεῖται Κυρίῳ, ἔλεος ἡμῖν δωρηθῆναι, καὶ πλημμελημάτων ἀπολύτρωσιν.

Ὄργανον κρουόμενον πνοαῖς, θείαις ἀνεδείχθης παμμάκαρ τῇ Ἐκκλησίᾳ Χριστοῦ, μέλος ἐναρμόνιον ἀναφθεγγόμενος, τοῦ ἐνθέου κηρύγματος, δογμάτων τε θείων, πάντας πρὸς ἐπίγνωσιν ἀνακαλούμενος, τῆς τοῦ λόγου σαρκώσεως, εἰδώλων τε πλάνην, τούτους ἐξαιρούμενος, καὶ πρὸς Χριστὸν ὁδηγῶν, ὅθεν ὡς Ἀπόστολον θεῖον, πάντες ἐπιγνόντες ὕμνοις Ἀποστολικοῖς ἀνευφημοῦν σε.

Χρίσματι χρισθεὶς τῷ νοητῷ τῆς Ἱερωσύνης παμμάκαρ, Ἀρχιερεὺς Ἀθηνῶν εὔνομος γεγένησαι, γλῶσσαν πυρίπνοον, ἐκ τῶν ἄνω δεξάμενος, καὶ φλέγων σοφίαν, Ἑλλήνων τὴν ἄσοφον, καὶ πρὸς τὸ ἄδυτον, ἕλκων φῶς τῆς πίστεως πάντας, καὶ πρὸς οὐρανὸν ἀναπέμπων ἔνθα φῶς ὑπάρχει τὸ ἀνέσπερον.

Δρόμον τὸν τῆς πίστεως καλῶς, σὺν τῷ θείῳ Παύλῳ τελέσας, σὺν τούτῳ εἴληφας, τὸν ἐναποκείμενον δικαίοις στέφανον, ἐκ χειρὸς τοῦ Παντάνακτος, ἐν ἐπουρανίαις σκηναῖς αὐλιζόμενος, καὶ ἀξιούμενος, Θείας εὐφροσύνης καὶ δόξης, καὶ τὰς τῶν Ἀγγέλων χορείας, θείας ἐμπιμπλῶν ἀγαλλιάσεως.

### *Δόξα ἦχος β΄.*

Ὅτε ἡ Μήτηρ τοῦ Κτίστου, πρὸς τὸν Υἱὸν ἐξεδήμει, καὶ τῶν Ἀγγέλων τὰ στίφη καὶ Ἀποστόλων τὰ πλήθη, πρὸς τὴν Σιὼν ἠθροίζοντο, τῇ τοῦ Θεοῦ ἐπινεύσει, τότε σοφὲ Ἱεράρχα, ὑπὸ νεφέλης αἰθέριος ἁρπαγεὶς σὺν τούτοις ἐπέστης ἀξιοχρέως λειτουργήσων τῇ κηδείᾳ τοῦ Θεοδόχου σώματος. Ὅθεν ἐξάρχων ἐν συλλόγῳ τῶν θεολόγων τοῖς ὕμνοις διέπρεψας τῆς μόνης θεομήτορος· ὅλος Θεῷ ἐκδημῶν, ὅλος ἐξιστάμενος, καὶ Ἀποστόλων τὸν δῆμον κατηύφρανας, θεόληπτος ὑμνολόγος παρὰ πάντων κρινόμενος, διὸ σὺν αὐτῇ Χριστὸν τὸν Θεὸν ἱκέτευε, Ἱεράρχα Ἱερόθεε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### *Καὶ νῦν Θεοτοκίον*

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον



τὴν Παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

### *Δοξολογία μεγάλη. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα Α΄.*

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν οὐχ' ἀκούονται.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ καὶ ἐξομολογεῖσθε αὐτῷ.

Δόξα καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου σῶσον ἡμᾶς.

### *Ἀντίφωνον Β΄. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστὸς, ψάλλοντας...*

Ἐπὶ σοὶ Κύριε ἤλπισαν οἱ Πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς.

Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν.. Σῶσον ἡμᾶς.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες, οἱ ζητοῦντές σε Κύριε.

Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ. Δόξα καὶ νῦν.

### *Ἀντίφωνον Γ΄. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι.*

Οἱ Ἱερεῖς σου Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

### *Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος Α΄.*

Τὸν Παύλου μαθητήν τε καὶ τῆς Οἰκουμένης διδάσκαλον, τὸν τῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

Ἀθηνῶν Ἱεράρχην καὶ κήρυκα τῆς πίστεως, τὸν μέγαν καὶ πάνσοφον πιστοί, ἐκφάντορα τῶν μυστηρίων τοῦ Χριστοῦ, Ἱερόθεον ἐν ὕμνοις χρεωστικῶς ἀνευφημήσωμεν ἅπαντες, τὸν βλύσαντα ὡς νάματα ἡμῖν, διδάγματα ἔνθεα σαφῶς, καὶ Θεὸν τῷ βίῳ αὐτὸν εὐφράναντα, τὸν μόνον Πολυέλεον.

*Ἀπολυτίκιον τοῦ Ἁγίου. Τῆς Μονῆς Ἦχος βαρύς.*

Μετεμορφώθης ἐν τῷ Ὄρει, Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου, τὴν δόξαν σου καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου. Φωτοδότα δόξα σοι.

Κοντάκιον τοῦ *Ἁγίου Ἦχος Πλ. Δ΄. Τῇ ὑπερμάχῳ.*

Τὸν ἱεράρχην Ἀθηνῶν ἀνευφημοῦμέν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄρρητα, ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος, ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύεσθαι, ἵνα κράζωμεν. Χαίροις Πάτερ θεόσοφε.

***Κοντάκιον τῆς Ἁγίας Σκέπης τῆς Θεοτόκου. Ἦχος Πλ Δ΄. Τῇ ὑπερμάχῳ.***

Τῇ Θεοτόκῳ οἱ πιστοὶ νῦν προσπελάσωμεν, καὶ τὸ Μαφώριον αὐτῆς κατασπασώμεθα, ἀναμέλποντες ἐφύμνια κατὰ χρέος. Σκέπη πέλει γὰρ πιστοὺς σκέπουσα ἅπαντας καὶ φρουροῦσα ἐκ παντοίων περιστάσεων, τοὺς κραυγάζοντας· χαῖρε Σκέπη ὁλόφωτε.

Τὸ Τρισάγιον... Ὁ Ἀπόστολος... Σὺ Κύριε φυλάξῃς ἡμᾶς καὶ διατηρήσῃς ἡμᾶς... Σῶσόν με Κύριε, ὅτι ἐκλέλιπεν ὅσιος..

*Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. Σελ. 47.*

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐπιλαβόμενοι οἱ Ἀθηναῖοι τοῦ Παύλου, ἐπὶ τὸν Ἄρειον Πάγον ἤγαγον λέγοντες· Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ὑπὸ σοῦ λαλουμένη διδαχή; Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναί τι ἂν θέλῃ ταῦτα εἶναι. (Ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον ηὐκαίρουν, ἢ λέ-



γειν τι καὶ ἀκούειν καινότερον). Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, ἔφη. Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γάρ, καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, Ἀγνώστῳ Θεῷ. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιρούς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν· ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτόν, καὶ εὕροιεν καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν.

***Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Σαββάτῳ τῆς Ζ΄ ἑβδομάδος.***

Εἶπεν ὁ Κύριος· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν. Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται. Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα Μαθητοῦ, ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ ἀπωλέσῃ τὸν μισθὸν αὐτοῦ. Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς, διατάσσων τοὺς δώδεκα Μαθητὰς αὐτοῦ μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

***Εἰς τὸ ἐξαιρέτως. Τὸ Ἄξιον ἐστίν καὶ εἰς τὰ Δίστιχα Μεγαλυνάρια.***

Τὸ τοῦ Παύλου θήραμα τὸ τερπνόν, τῇ ἄνω τραπέζῃ τὸ ἀξίως παρα-

ταθέν, τὸ τοὺς οὐρανίους εὐφράναν δαιτυμόνας, Ἱερόθεον τὸν πάνυ ὕμνοις τιμήσωμεν.

Ἐγκαυχᾶται πόλις ἡ Ἀθηνῶν, ἡ λαχοῦσα Πάτερ, σοῦ ποιμένος καὶ ὁδηγοῦ, ἐγκαυχῶνται οὕτω καὶ πάντες, οἱ τυχόντες σοὶ ὁμωνυμῆσαι οὓς διαφύλαττε.

*Ὁμιλία εἰς τὸν Ἅγιον Ἱερόθεον Ἐπίσκοπον Ἀθηνῶν.*

*Εὐλόγησον Πάτερ. Δι᾽ εὐχῶν τῶν Ἁγίων. . .*

Μεγάλην ἐπιμέλειαν, καὶ πολλοὺς ἱδρῶτας πρέπει νὰ χύσῃ, ἐκεῖνος ὅπου θέλει νὰ σώσῃ, καὶ τὴν ἑαυτοῦ ψυχήν, καὶ νὰ φωτίσῃ καὶ ἄλλους, οὕτως ἔκαμαν οἱ ἔνδοξοι ἐκεῖνοι καὶ μεγάλοι ἄνδρες τῆς ὀρθοδόξου ἡμῶν πίστεως, οὕτως ἐπολιτεύθησαν, ἠγωνίσθησαν, ὑβρίσθησαν, ἐσυκοφαντήθησαν τὰ πάντα, ὑπέμειναν ἵνα κερδήσωσι τὸν οὐράνιον θησαυρόν, τὸν πολυτίμητον καὶ αἰώνιον μαργαρίτην.

Τοιοῦτοι ὑπῆρξαν οἱ θεῖοι καὶ ἱεροὶ Ἀπόστολοι, οἱ Ἅγιοι Μάρτυρες, οἱ θεῖοι Ἱεράρχαι ὡς καὶ ὁ σήμερον ἑορταζόμενος ἔνδοξος Ἱεράρχης καὶ ἐπίσκοπος Ἀθηνῶν, ὁ θεῖος καὶ μέγας ῥήτωρ, ὁ πρῶτος μαθητὴς τοῦ Ἀποστόλου Παύλου, ὁ σοφὸς Ἱερόθεος, ὁ μέγας καὶ θαυμαστὸς Πατὴρ τῆς Ἐκκλησίας μας, ἀκούων τὴν δημηγορίαν, ἐν μέσῳ τῶν ἐλλογιμωτέρων καὶ σοφῶν φιλοσόφων, κηρύττων τὴν ἀληθινὴν πίστιν ἐκ τοῦ στόματος τοῦ θείου Παύλου, ἐπίστευσεν πρῶτος εἰς τὸν Κύριον, ὡς καὶ ὁ Ἅγιος Διονύσιος ὁ Ἀρειοπαγίτης, καὶ γυνή τις ὀνόματι Δάμαρις, καὶ ἕτεροι πολλοί, ὡς ἱστορεῖ ὁ ἱερὸς Λουκᾶς. Ἐλθὼν εἰς τὰς κλεινὰς Ἀθήνας ὁ Ἀπόστολος Παῦλος καὶ σταθεὶς ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, ἐξεφώνησε λόγῳ ἐν μέσῳ τοῦ Διοικητηρίου, «Τῷ ἀγνώστῳ Θεῷ», ὅπου πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ὡς καὶ ἐχειροτονήθησαν Ἐπίσκοποι Ἀθηνῶν, ὁ Ἅγιος Ἱερόθεος καὶ Διονύσιος ὁ Ἀρειοπαγίτης, ἐκ τῶν χειρῶν τοῦ Ἀποστόλου Παύλου.

Ἀμφότεροι δὲ εἶχον μεγάλην παιδείαν, ὡς ἡ θεία Γραφὴ ἐγκωμιάζει αὐτοὺς ὑμνολόγους θεολήπτους, κλεινοὺς καθηγεμόνας, φωστῆρας τῆς οἰκουμένης, σοφοὺς διδασκάλους, Ἱερομύστας θεολόγους. Ἔγραψαν περὶ τῆς θείας καὶ οὐρανίου θεολογίας μυηθέντες τὰ κρείττω καὶ τελειοτέρως, τῆς οὐραείου καθ᾽ ἡμᾶς σοφίας.



Θεοτόκου μαρτυρεῖ καὶ ὁ Ἅγιος Διονύσιος, ὁ Ἀρειοπαγίτης, ὅτι ἦτο συμπαρὼν καὶ ὁ Ἱερόθεος ὑπὸ νεφέλης ἁρπαγείς, καὶ ὅτι ἐμελώδησε καὶ ἐπιταφίους ᾠδὰς εἰς δόξαν τῆς Θεομήτορος, καὶ διάφορα ἐγκώμια, ὅπου, μεγάλως τὸν ἐγκωμιάζουν οἱ θεῖοι Ἀπόστολοι, ὡς καὶ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Ἀπόστολος Παῦλος, πάντων ὑπερέχων, καὶ παρὰ πάντων ἠκούετο καὶ ὡρᾶτο, ὡς Θεόκλητος καὶ ὑμνολόγος κρινόμενος, καθὼς μαρτυρεῖ ὁ Ἅγιος Διονύσιος πρὸς Τιμόθεον λέγων. Ἤκουσα πολλὰ ἐγκώμια καὶ περικοπάς, ἐκ τῶν θεολήπτων ἀνδρῶν, ἀλλὰ ὑπερέχουν οἱ λόγοι τοῦ σοφοῦ Διδασκάλου Πατρὸς ἡμῶν Ἱεροθέου, τὰ κατανυκτικὰ ἡμῶν μελωδήματα, ἡνωμένοι τῷ Πνεύματι, τῆς ὑμνουμένης Θεομήτορος. . .

Τὸν τοιοῦτον λοιπὸν καὶ μέγαν τὴν ἀρετὴν καὶ σοφίαν θειότατον ἄνδρα μὲ τίνας νὰ τὸν παραβάλωμεν καὶ πῶς νὰ τὸν ὀνομάσωμεν; Ἄγγελον βεβαιότατα, ἀγγελικῶς ἐπολιτεύθη ἐν τῷ κόσμῳ, καὶ ἔνσαρκος Ἄγγελος ἀνεφάνη. Ἀπόστολον βεβαιότατα, ἀποστολικὴν ἐγχειρίσθη διακονίαν, ἀποστολικῶς τὰ χρέη ἐξετέλεσε, μάρτυς, καὶ διὰ λόγων καὶ ἔργων ἐμαρτύρησε, καὶ δι᾽ ἀγώνων τῆς ἀληθοῦς ἡμῶν πίστεως Ἱεράρχης νομίμως Ἀρχιερατεύσας τῷ Θεῷ εὐηρέστησε, διδάσκαλος τὰ διδασκαλικὰ χρέη ἐξεπλήρωσεν, ἀλλὰ καὶ οὐρανόν, καὶ ἥλιον καὶ σελήνην, ἐὰν αὐτὸν ὀνομάσωμεν ἀληθεύομεν, διότι διὰ τῶν ἔργων καὶ λόγων ἐλάμπρυνε τὴν τοῦ Θεοῦ δόξαν, τὸν ἔνσαρκον τοῦ Θεοῦ, Λόγον, καὶ ἀπεδίωξεν τὸ σκότος τῆς ἀγνοίας καὶ εἰδωλολατρείας. . . Ἐὰν αὐτὸν ὀνομάσωμεν κατὰ τὸν θεῖον Παῦλον, υἱὸν βροντῆς, καὶ δεύτερον Ἰωάννην τὸν Θεολόγον, τοῦ ἁρμόζει, διότι ἐκόσμησε τὴν Ἐκκλησίαν μὲ τοὺς πανσόφους λόγους του.

Τοιοῦτος λοιπὸν ὑπῆρξεν, ὁ τοσούτων, καὶ τοιούτων λαμπρῶν κατορθωμάτων, ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἱερόθεος ἐπίσκοπος Ἀθηνῶν ἐλθὼν εἰς βαθὺ γῆρας, παρέδωκε τὴν ἁγίαν ψυχήν του εἰς χεῖρας Θεοῦ, ἀξιωθείς, τῆς τῶν Πατριαρχῶν τιμῆς, μετὰ τῶν Προφητῶν, Ἀποστόλων, Μαρτύρων, Ἱεραρχῶν, καὶ πάντων τῶν Ἁγίων, εἰς τοὺς ἀκυμάντους

Ἀλλὰ καὶ εἰς τὴν κηδείαν τοῦ Θεοδόχου σώματος τῆς Κυρίας ἡμῶν καὶ γαληνίους λιμένας, τῆς τῶν Οὐρανῶν Βασιλείας.

Δέξαι λοιπὸν εὐμενῶς, Πάτερ θειότατε, τὰ παρ᾽ ἡμῶν εὐλαβῶς προσφερόμενα, διὰ πρεσβειῶν σου Ἁγίων, ἀντιδίδων ἡμῖν ἄφεσιν

ἁμαρτιῶν, πειρασμῶν ἀπαλλαγήν, καὶ τέλος βίον Θεῷ εὐάρεστον, πρὸς δὲ τὸ μέλλον τὴν ἐκ δεξιῶν τοῦ Κυρίου παράστασιν, ᾧ πρέπει πᾶσα τιμή, δόξα, καὶ προσκύνησις σὺν τῷ Πατρὶ καὶ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας . . . Ἀμήν.

## Ἐκ τοῦ Μηναίου. Εὐλόγησον Πάτερ.

Ὁ Ἅγιος Ἱερόθεος ἦτο ἐκ τῶν ἐννέα βουλευτῶν τοῦ Ἀρείου Πάγου, προκατηχηθεὶς δὲ παρὰ τοῦ Ἀποστόλου Παύλου, ὅπου καὶ παρ' αὐτοῦ ἐχειροτονήθη Ἐπίσκοπος Ἀθηνῶν, αὐτὸς καὶ τὸν Μέγαν Διονύσιον τὸν Ἀρειοπαγίτην ἐκατήχησεν εἰς τὴν Ὀρθόδοξον πίστιν, αὐτὸς καὶ εἰς τὴν κηδείαν τῆς Θεοτόκου ἦν ἐξάρχων ἐπὶ τῇ συνελεύσει τῶν Ἁγίων Ἀποστόλων, αὐτὸς παρὰ πάντων ἠκούετο ὡς σοφὸς καὶ μέγας ῥήτωρ, καὶ σοφὸς ὑμνολόγος, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος, καὶ Θεὸν εὐφράναντα, διὰ τῆς καθαρᾶς πολιτείας του, διὰ τῶν μεγάλων κατωρθωμάτων του πρὸς Κύριον τὸν Θεὸν καὶ πλάστην του ἐξεδήμησε. Ταῖς αὐτοῦ πρεσβείαις, καὶ ἱκεσίαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

### 5 Ὀκτωβρίου. Τῆς Ἁγίας μάρτυρος Χαριτίνης.
### Ἀπολ. Ἦχος Δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ κράζει μεγάλῃ τῇ φωνῇ.

### Κοντάκιον Ἦχος Δ'.

Δι' ἀγάπην ἔνδοξε, τὴν τοῦ Κυρίου, Χαριτίνη ἅπαντα, κολαστηρίων φοβερῶν, τὰ φρικτά, ὑπενεγκοῦσα ἀπείληφας, τοῦ μαρτυρίου τὸν ἄφθαρτον στέφανον.

### Μεγαλυνάριον.

Χαίροις Χαριτίνη νύμφη Χριστοῦ, χαίροις Ἐκκλησίας ἀπροσμάχητος βοηθός, χαίροις τῶν Μαρτύρων καὶ Παρθένων, ἡ δόξα καὶ τὸ κλέος, ἐν πίστει, προσκυνοῦντες, σὲ μεγαλύνομεν.

### Μεγαλυνάρια τοῦ Πεντηκοσταρίου. Κυριακὴ τοῦ Πάσχα.

Δεῦτε τὴν Ἀνάστασιν τοῦ Χριστοῦ, καὶ Θεὸν τῶν ὅλων, μεγαλύνομεν οἱ πιστοί, καὶ μετ' εὐφροσύνης, βοήσωμεν συμφώνως, δόξα τῇ σῇ ἐγέρσει, Σῶτερ μακρόθυμε.



### Τῆς Ζωοδόχου Πηγῆς

Ὕδωρ τὸ ζωήρρυτον τῆς πηγῆς, μάννα τὸ προχέον, τὸν ἀθάνατον δροσισμόν, τὸ νέκταρ τὸ θεῖον, τὴν ξένην ἀμβροσίαν, τὸ μέλι, τὸ ἐκ πέτρας, πίστει τιμήσωμεν.

### Κυριακὴ τοῦ Θωμᾶ.

Ἐπέστης Ἰησοῦ ἡ ζωὴ ἡμῶν, θυρῶν κεκλεισμένων, τοῖς Ἁγίοις σου Μαθηταῖς καὶ τῷ Θωμᾷ ἐβόας, δεῦρο ψηλάφησόν με, καὶ κήρυξον τῷ κόσμῳ, τὴν ἐκ τάφου μου ἔγερσιν.

### Τῆς Παναγίας Χρυσαφιτίσσης. Δευτέρα μετὰ τοῦ Θωμᾶ.

Δόξα σοι Παρθένε Μήτηρ Θεοῦ, δόξα σοι Κυρία, καὶ Προστάτις κόσμου παντός, δόξα σοι ἐλπίς μου ἰσχύς μου, ὕμνησίς μου, δώρησαι ἐμοῦ τοῦ σοῦ δούλου, τῇ ἄνω δόξῃ σου.

### Κυριακὴ τῶν Μυροφόρων

Τὴν Μαρίαν πάντες Μαγγαληνήν, καὶ τῶν Μυροφόρων, τὸν λοιπὸν θεῖον νῦν χορόν, καὶ τοὺς κηδευτάστε τοῦ σώματος Κυρίου, τὸν Ἰωσὴφ τιμῶμεν καὶ τὸν Νικόδημον.

### Κυριακὴ τοῦ Παραλύτου

Ἐν τῇ κολυμβήθρᾳ τοῦ Σιλωάμ, εὗρεν ὁ Δεσπότης, καὶ θεάνθρωπος Ἰησοῦς παράλυτον ἄνδρα, ὀδυνηρῶς νοσοῦντα, καὶ ῥήματα κελεύσας τοῦτον ἠνώρθωσεν.

### Τετάρτη τῆς Μεσοπεντηκοστῆς.

Ἡμερῶν μεσότης ὦ ἀδελφοί, σήμερον ἐπέστη, πανηγύρεως τῆς λαμπρᾶς· ὅθεν συνελθόντες φιλέορτοι ὑμνοῦμεν, Χριστοῦ τὰ Θεῖα Πάθη καὶ τὴν Ἀνάστασιν.

### Κυριακὴ τῆς Σαμαρείτιδος

Τῶν Μαρτύρων πάντες τὴν καλλονήν, τὴν ἐκ Σαμαρείας ἀνυμνήσω-

ΓΕΝΙΚΗ ΛΑΪΚΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μεν Φωτεινήν· αὕτη γὰρ γενναίως ἀντέστη τοῖς τυράννοις, καὶ τὸν Χριστὸν ἡ μάκαρ, Θεὸν ἐκήρυξεν.

### *Κυριακὴ τοῦ τυφλοῦ*

Εὗρεν ὁ Χριστὸς παρὰ τὴν ὁδόν, τυφλὸν γεννηθέντα, ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ πηλὸν ποιήσας, ἐκ στόματος ὁ πλάστης, τὸ φῶς εἰς τοῦτον δίδει ὁ παντοδύναμος.

### *Πέμπτη τῆς Ἀναλήψεως*

Ἀόρατος κόσμος καὶ ὁρατός, ἅπας ἑορτάζει, καὶ οἱ Ἄγγελοι σὺν βροτοῖς, σκιρτῶντες ὑμνοῦσιν, ἐν φωναῖς ἀσιγήτοις, τὴν ἄνοδόν σου Σῶτερ, καὶ τὴν Ἀνάστασιν.

### *Κυριακὴ τῶν Ἁγίων 318 Πατέρων*

Τὸ δογματισθὲν Ὁμοούσιον, παρὰ τῶν Πατέρων, τῆς Τριάδος καὶ ἄκτιστον, τέρατι κεράμου, ἐκύρωσε Σπυρίδων, πῦρ δείξας, γῆν καὶ ὕδωρ οὓς μεγαλύνομεν.

### *Σαββάτῳ τῶν ψυχῶν*

Ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν κεκοιμημένων, Ὀρθοδόξων Χριστιανῶν, ἐν τόπῳ Ἁγίῳ, ἐν χορῷ τῶν δικαίων, ὅπου τὸ φῶς σου λάμπει, τούτους κατάταξον.

### *Κυριακὴ τῆς Πεντηκοστῆς.*

Ὥσπερ ἐν ἡμέρᾳ Πεντηκοστῆς, ἐφώτισας πάντας, ὦ Παράκλητε, Μαθητάς, οὕτω καὶ τοῖς φόβῳ λατρεύουσί σε λάμψον, ἀκτῖνας σῶν χαρίτων, καὶ σῶσον ἅπαντας.

### *Δευτέρα τοῦ Ἁγίου Πνεύματος.*

Εἰς τὸ Ὑπερῷον τοῖς Μαθηταῖς, ἐν πυρίναις γλώσσαις, ἐξαπέστειλεν ὁ Πατήρ, τὸ θεῖον αὐτοῖς Πνεῦμα, ὅπως αὐτοὺς φωτίσῃ τοῖς ἔθνεσι κηρῦξαι τὸ Εὐαγγέλιον.

### *Κυριακὴ τῶν Ἁγίων Πάντων.*

Τοὺς Προφήτας πάντας ἀνευφημῶ, καὶ τοὺς Ἀποστόλους καὶ Ὁσίους Καθηγητάς, Μαρτύρων τὴν πᾶσαν ὁμήγυριν συμφώνως, καὶ πάντας τοὺς Ἁγίους, πόθῳ καὶ φόβῳ ὑμνῶ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## *Τοῖς σεβαστοῖς ἡμῶν ἀδελφοῖς χαίρειν.*

Ἐκ θείου ζήλου καὶ ἀγάπης παρακινούμενος, θέλω ἐκδώσει μερικῶν Ἁγίων ἀκολουθίας ὅπου δὲν ὑπάρχουν "ἐν τοῖς Μηνιαίοις," μὴ λαμβάνων ὑπ' ὄψιν, ὄχι μόνον τοὺς νέους Ἁγίους, ἀλλὰ καὶ παλαιοὺς δηλ.: τὰς ἀκολουθίας τοῦ ἁγίου Μηνᾶ, ἁγίου Εὐσταθίου, Μικρὸν Ἑσπερινὸν εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου, Καθίσματα εἰς τὴν παραμονὴν τῆς Μεταμορφώσεως, Αἴνους εἰς τὴν παραμονὴν τῆς Κοιμήσεως, Εὐαγγέλιον εἰς τὴν ἑορτὴν τοῦ Προφήτου Ἠλιοῦ, Λιτὴν εἰς τὸν Ἅγιον Σπυρίδωνα καὶ ἄλλων πολλῶν ἁγίων. Τῶν τοιούτων ἔργων εὑρίσκεται ἡ ἀπαιτουμένη ὕλη εἰς ἐμὲ ἐκ διαφόρων ἀκολουθιῶν καὶ Θεοῦ θέλοντος πρέπει νὰ τὰς συμπληρώσωμεν, πρὸς εὐκολίαν τῶν φιλακολούθων ἀδελφῶν, ἔχοντες ἀνὰ χεῖρας ἓν βιβλιάριον περιέχον ἅπαντα τὰ ἀναγινωσκόμενα ἐν τῇ Ἐκκλησίᾳ, ἵνα καρποῦται περισσότερον ἡ εὐλάβεια ἑκάστου εἰς τὴν καρδίαν τοῦ εὐσεβοῦς Χριστιανοῦ.

Ἐξεδόθησαν παρ' ἐμοῦ αἱ ἑξῆς ἀκολουθίαι τὸ ἔτος 1920 πρὸς πώλησιν: Ἁγίου Ἰσιδώρου, Ὁσίας Θεοκτίστης τῆς Λεσβίας, Ἁγίου Ἀντίπα ἐκ Περγάμου, Ὁσίας Παρασκευῆς, Ἁγίου Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν, Ἁγίου Πολυκάρπου Ἐπισκόπου Σμύρνης, μὲ τὴν ἀξίαν τῶν τυπογραφικῶν Ἐξόδων. Εὑρίσκονται δὲ καὶ ἄλλων Ἁγίων ἀκολουθίαι· Ἁγίας Φωτεινῆς, Παναγίας Μυρτιδιωτίσσης, Ἁγίου Τρύφωνος, ἁγίου Στυλιανοῦ, καὶ πολλῶν ἄλλων.

Ἀθῆναι, 31 Αὐγούστου 1920.

Μετὰ προσηκούσης ἀγάπης, ὁ ἐλάχιστος καὶ Πνευματικὸς ὑμῶν πατήρ.

***Γεώργιος Α. Βουτέρης***
(ἱερεύς)

ΕΝΙΑΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΡΗΓΟΡΗΣ ΠΑΠΑ...